τὸ μὲν ἐςὶ Πρωτότυπον, τὸ δὲ, Παράγωγον. Τοῦ δὲ Παραγώγου εἴδη ἑπτά. Πατρωνυμικὸν, Κτητικὸν, Ὑποκοριςικὸν, Συγκριτικὸν, Ὑπερθετικὸν, Παρώνυμον, καὶ Ῥηματικόν.

### Σχηματισμοὶ Πατρωνυμικῶν.

§. σμβ΄. Πατρωνυμικοῦ δὲ σχηματισμοὶ τοιοῦτοι. Ὅσα μὲν τῶν κυρίων ὀνομάτων εἰς ος καθαρὸν λήγει, εἰς αδης· μετασχηματιζόμενα τὸ ἀρσενικὸν Πατρωνυμικὸν ποιεῖ. οἷον, ἥλιος, ἡλιάδης· ὅσα δὲ εἰς ος μὴ καθαρὸν, εἰς ιδης· Κρόνος, Κρονίδης. Τὰ δὲ τῆς πρώτης κλίσεως, πάντα εἰς αδης. Αἰνείας, Αἰνειάδης, Ἰφίτης, Ἰφιτάδης. Τοῖς γεμὴν πεμπτοκλίτοις, ἀπὸ τῶν γενικῶν ὁ σχηματισμὸς εἰς ιδης. Ἔνθα δὴ καὶ συναίρεσις γίνεται, ἐφ᾽ ὧν τὸ ε παραλήγει ἀπὸ τῆς ευς εὐθείας, καὶ σχηματισμὸς ἕτερος εἰς ων, Ἰώνων. Πέλοψ, Πέλοπος, Πελοπίδης. Δημοσθένης, Δημοσθένους, Δημοσθενίδης. Πηλεὺς, Πηλέως, Πηλεΐδης, καὶ κατὰ συναίρεσιν, Πηλείδης, καὶ Πηλείων Ἰωνικῶς. Ἀτρεὺς, Ἀτρέως, Ἀτρείδης, καὶ Ἀτρείων.

### Περὶ θηλυκῶν Πατρωνυμικῶν.

§. σμγ΄. Τὰ δὲ θηλυκὰ πατρωνυμικὰ, ἀπὸ τῶν ἰδίων ἀρσενικῶν, ἐκβολῇ τοῦ δη. Ἡλιάδης, Ἡλίας. Νεςορίδης, Νεςορίς. καὶ ἐςὶ τὰ μὲν ἀρσενικὰ, κλίσεως πρώτης. τὰ δὲ θηλυκὰ, πέμπτης. Πριαμίδης, Πριαμίδου. Πριαμὶς, Πριαμίδος.

§. σμδ΄. Ἔςι δὲ καὶ ἑτέρου πατρωνυμικοῦ εἶδος καταχρηςικῶς, ἐπὶ μὲν ἀρσενικοῦ, εἰς διος· οἷον, Ὑῤῥάδιος· ἐπὶ